καὶ οὐ μὴ παρέλθῃ σε οὐδὲν τῶν ἁμαρτιῶν μου·
17 ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλλαντίῳ,
ἐπεσημήνω δέ, εἴ τι ἄκων παρέβην.
18 ※καὶ πλὴν ὄρος πῖπτον διαπεσεῖται,
※καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς·
19 ※λίθους ἐλέαναν ὕδατα,
※καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς·
※καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας.↙
20 ὤσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο·
ἐπέστησας αὐτῷ τὸ πρόσωπον καὶ ἐξαπέστειλας·
21 πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ οὐκ οἶδεν,
ἐὰν δὲ ὀλίγοι γένωνται, οὐκ ἐπίσταται·
22 ἀλλ᾽ ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν,
ἡ δὲ ψυχὴ αὐτοῦ ἐπένθησεν.

15 1 Ὑπολαβὼν δὲ Ελιφας ὁ Θαιμανίτης λέγει
2 Πότερον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεύματος
καὶ ἐνέπλησεν πόνον γαστρὸς
3 ἐλέγχων ἐν ῥήμασιν, οἷς οὐ δεῖ,
ἐν λόγοις, οἷς οὐδὲν ὄφελος;
4 οὐ καὶ σὺ ἀπεποιήσω φόβον,
συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ κυρίου;
5 ἔνοχος εἶ ῥήμασιν στόματός σου
οὐδὲ διέκρινας ῥήματα δυναστῶν·
6 ἐλέγξαι σε τὸ σὸν στόμα καὶ μὴ ἐγώ,
τὰ δὲ χείλη σου καταμαρτυρήσουσίν σου.
7 τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγενήθης;
ἢ πρὸ θινῶν ἐπάγης;
8 ἢ σύνταγμα κυρίου ἀκήκοας,
εἰς δὲ σὲ ἀφίκετο σοφία;
9 τί γὰρ οἶδας, ὃ οὐκ οἴδαμεν;

$17^1$ τας αμαρτιας S, τα αμαρτηματα A† | $17^2$ επεσημ. δε] και επεσ. A†: cf. 3 12 || $18^1$ διαπεσ.] δια > A† || $19^1$ ελεανεν A† || $20^2$] pr. και A† | προσωπον] + σου A† | εξαπεσταλη A† || $21^2$ δε] τε A | επιστανται S* || $22^2$ επενθ.] pr. επ αυτω A (idem add. Sy^mg ex α′ θ′ ante $22^1$ ηλγησαν; idem add. La ante $22^1$ ηλγ. sub ÷ [pro ※] et ante $22^2$ επενθ. sub ※, cf. Lag. Mitth. 2, p. 207)

15 1 ελιφαζ SA: cf. 2 $11^3$ || $2^1$ ποτερον] τινα αρα A† | πνευματος B*S^cA†] πνευμα rel. | $2^2$ και ενεπλ.] εμπλησει δε A† || $3^1$ ελεγχων] + με A† | οις ου δει] κενοις A† | $3^2$] + εν αυτοις codex unus codici A cognatus (in *O* sub ※) || $4^1$ ου] οτι A† | και > S^c | $4^2$ του > A† || $5^2$ ουδε] -δεν S†, και ου A† | ρημα S*B^c† || $6^1$ ελεγξη A† | $6^2$ καταμαρτυρησουσιν BS†] -ρησε(= -σαι) A*†, -ρησει A^c†, -ρησαισαν rel. || $7^1$ ανθρωπος A† | εγεννηθης AC || $8^2$ εις δε] η εις A†: cf. 11 8

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/299 UNIVERSITÄT LEIPZIG